βάξιν τ' ἀνθρώπων, ἤπια νωσάμενος.

---

ὦ παῖ, μέχρι τίνος με προφεύξεαι; ὥς σε διώκων
δίζημ'· ἀλλά τί μοι τέρμα γένοιτο κιχεῖν
σῆς ὥρης· σὺ δὲ μάργον ἔχων καὶ ἀγήνορα θυμὸν
φεύγεις ἰκτίνου σχέτλιον ἦθος ἔχων.
ἀλλ' ἐπίμεινον, ἐμοὶ δὲ δίδου χάριν· οὐκέτι δηρὸν
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου.

---

θυμῶι γνοὺς ὅτι παιδείας πολυηράτου ἄνθος
ὠκύτερον σταδίου, τοῦτο συνεὶς χάλασον
δεσμοῦ, μή ποτε καὶ σὺ βιήσεαι ὄβριμε παίδων,
Κυπρογενοῦς δ' ἔργων ἀντιάσηις χαλεπῶν,
ὥσπερ ἐγὼ νῦν ὧδ' ἐπὶ σοί. σὺ δὲ ταῦτα φύλαξαι,
μηδέ σε νικήσηι †παιδαΐδη κακότης.

---

οὔ μ' ἔλαθες κλέψας ὦ παῖ — καὶ γάρ σε διώκω —
τούτοις, οἷσπερ νῦν ἄρθμιος ἠδὲ φίλος
ἔπλευ, ἐμὴν δὲ μεθῆκας ἀτίμητον φιλότητα.
οὐ μὲν δὴ τούτοις γ' ἦσθα φίλος πρότερον,
ἀλλ' ἐγὼ ἐκ πάντων σ' ἐδόκουν θήσεσθαι ἑταῖρον
πιστόν. καὶ δὴ νῦν ἄλλον ἔχοισθα φίλον·
ἀλλ' ὁ μὲν εὖ ἔρδων κεῖμαι· σὲ δὲ μή τις ἁπάντων
ἀνθρώπων ἐσορῶν παιδοφιλεῖν ἐθέλοι.

---



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/262 UNIVERSITÄT LEIPZIG